δὲ θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμεῖ ἐπ᾽ αὐτοῖς; λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει.

Μάθωμεν ἀδελφοὶ τὴν κεκρυμμένην σοφίαν ἐν τοῖς λόγοις τοῦ πνεύματος, διερευνώμενοι κατὰ δύναμιν ἡμετέραν, οὐχ ὅση ἐστὶν, ἀλλὰ ὅσον ἡμῖν ἐφικτόν. οἱ μὲν οὖν ἐν τῇ θαλάττῃ ποιούμενοι τὸν βίον, ἐπ᾽ αὐτὸν κατιόντες τὸν βυθὸν, τοὺς πολυτιμήτους λίθους τοῖς ἐν τῇ γῇ κομίζουσιν. ἡμεῖς δὲ τὸ πέλαγος τῶν θείων γραφῶν ἱστορήσοντες, εἰς αὐτὸν τὸν βυθὸν τῆς πνευματικῆς σοφίας, ὅσον οἷόν τε, καταδράμωμεν, ἵνα κομίζωμεν ὑμῖν θησαυρὸν ἀγαθὸν κοσμοῦντα τὰς ψυχὰς βέλτιον, ἢ τὰς κεφαλὰς τῶν βασι-

autem non faciet vindictam electorum suorum clamantium ad se die ac nocte, & patientiam habebit in illis? Dico vobis, quia cito faciet vindictam illorum.

*Nos verò, fratres, abditam sapientiam in sermonibus spiritus addiscamus, & pro facultate nostra intelligimus, nostra inuestigemus, non quantum in ipsa sit, sed quantum nobis assequi licet. Atque illi quidem, qui in mari vitam degunt, ipsum pelagus penetrantes, gemmas adferunt ad eos, qui sunt in terris. nos verò diuinarum literarum pelagus perlustremus, & ad ipsũ profundum spiritalis scientiæ, quantum in nobis est, decurramus, vt vobis thesaurum præstantissimum adferamus, q̃ ani-*